τοῦτο τὰς ἀκηράτους ψυχὰς θείῳ λουτρῷ χριστοῦ δι' ὃ καὶ ἀποσμήχει θεῖος ὁ πρα-
λαβών· κἂν ταῖς θεατροῖς μέν· κισσοὶ τῶν ἔξω ταυτὶ πολὺ κρείττοσιν ἐκ τῶν
ἔνδοθεν τὰ τῶν μυστικῶν τῆς γραφῆς δογμάτων ὑποστηρίζει· τοῖς δὲ περὶ τὸ φῶς
ἀφοσιώμασι κατασκευάζει· προπύλαιον, ἐν μεγίστῳ τε τοῦ παμβασιλέως
ἐμὸς καὶ μόνου θεοῦ δοξολογίας τοῦ παντὸς νεὼν κατακοσμῶν· χριστοῦ δὲ καὶ τοῦ
ἁγίου πνεύματος παρέχει κατὰ περατῆς τοῦ πρὸς αὐθεντίας τὰς δευτέρας αὐτοῖς
τοῦ φωτὸς παρασχόμενος· τῶν τελειοποιῶν διὰ τοῦ παντὸς οἶκον ἄφθονον καὶ πολὺ
διάφορον, τῆς καθ' ἕκαστον ἀληθείας, τὸ σαφὲς καὶ φωτεινὸν ἐνδεικνύ-
μενος· πανταχῇ δὲ καὶ πανταχόθεν τὴν ζωὴν τε καὶ νεωκόρον καὶ εὐπαθείας τῶν
ψυχῶν ἐγκρίμας, τὸν μέγαν καὶ βασιλικὸν ἐξ ἅπαντος οἶκον ἐπισκιάζεται λαμ-
πρὸν καὶ φωτὸς ἔμπλεω· τά τε ἔνδοθεν καὶ τὰ ἐκτὸς ὅτι μὴ ψυχὴ μόνον
καὶ διάνοια, καὶ τὸ σῶμα δὲ αὐτοῖς ἁγνείᾳ καὶ σωφροσύνῃ πολυανθεῖ κόσ-
μῳ καταγλαΐζεται· ἔνεισι δὲ ἐν τῷδε τῷ ἱερῷ καὶ θρόνοι· καὶ ἀθρόα τε μυρία
καὶ καθιστήρια· ἐν ὅσαις ψυχαῖς τὰ τοῦ θείου πνεύματος ἐφιζάνει δωρήματα· οἷα
καὶ πάλαι ὤφθη τοῖς ἀμφὶ τοὺς ἱεροὺς ἀποστόλους, οἷς ἐφάνησαν δια-
μεριζόμεναι γλῶσσαι ὡσεὶ πυρός· ἐκάθισάν τε ἐφ' ἕνα ἕκαστον αὐτῶν·
ἀλλ' ἐν μὲν τῷ πάντων ἄρχοντι ἴσως αὐτὸς ὅλος ἐγκάθηται χριστός· ἐν δὲ τοῖς με-
τ' αὐτὸν δευτερεύουσιν, ἀναλόγως καθόσον ἕκαστος χωρεῖ χριστοῦ δυνάμεως
καὶ πρὸς ἀξίαν μερισμοῦ· βάθρα δὲ ἂν εἶεν ἀγγέλων καὶ ἀτίμων ψυχῶν
τῶν εἰς παιδαγωγίαν καὶ φρουρὰν ἑκάστῳ παραδεδομένων· σεμνὸν δὲ καὶ μέγα
καὶ μονογενὲς θυσιαστήριον, ποῖον ἂν εἴη ἢ τὸ τοῦ κοινοῦ πάντων ἱερέως τῆς
ψυχῆς δεῖ εἰλικρινὲς καὶ ἁγιωτάτον· ᾧ παρεστὼς ἐπὶ δεξιῶν ὁ μέγας τῶν
ὅλων ἀρχιερεύς. αὐτὸς ἴσος ὁ μονογενὴς τοῦ θεοῦ, τὸ παρ' ἁπάντων ἀνιὸν
θυμίαμα· καὶ τὰς δι' εὐχῶν ἀναιμάκτους καὶ ἀΰλους θυσίας, φαιδρῷ τῷ
ὑλείμματι καὶ ὑπτίαις ὑποδεχόμενος χερσί, τῷ κατ' οὐσίαν πατρὶ καὶ θεῷ τὸ ὅλον
παραπέμπεται· πρῶτος αὐτὸς προσκυνῶν· καὶ μόνος τῶν περὶ τὸ κα-
ταξίαν ἀπονέμων σέβας· εἰ τάδε καὶ πᾶσιν ἡμῖν εὐμενῆ διαμένειν
καὶ δεξιὸν εἰς ἀεὶ παραιτούμενος· τοιοῦτος ὁ μέγας νεὼς ὃν κα-
θ' ὅλης τῆς ὑφ' ἡλίου οἰκουμένης ὁ μέγας τῶν ὅλων δημιουργὸς λόγος
συνεστήσατο· τοῦ ἐπικειμένου ἀναλλοίωτον παλαιὰ καὶ αὐτὸς νοερὰν ταύτην
ἐπὶ τῆς εἰκόνα κατεργασάμενος· ὥσπερ διὰ πάσης τῆς κτίσεως, τῶν τε ἐπι-
γείων καὶ ζώων ὅπερ αὐτῷ τίμιόν τε καὶ σεβάσμιον· τόν τε ὑπερούσιον χῶρον
καὶ τὰ ἐκεῖσε τῶν τῇδε παραδείγματα· τὴν παλαιὰν λεγομένην ἱερουσαλὴμ καὶ τὸ σιὼν
ὄρος τὸ ἐπουράνιον. καὶ τὴν ὑπερκόσμιον πόλιν τοῦ ζῶντος θεοῦ· ἐν ᾗ μυριάδες

οὐκ ἀγαθῶ ἀξία μείζων

νοητὸν ὡς ἐκ τοῦ θεοῦ τοῦ χριστοῦ· ἡ σάρξ